28-02-2026
† Σάββατον τῆς Α΄ ἑβδομάδος
τῶν νηστειῶν.
Τῶν Ἁγίων Θεοδώρων
Τήρωνος & Στρατηλάτου
ΠΟΙΗΘΗΣΑ
εἰς ἀναπλήρωσιν τῆς ἐν τῷ Τριῳδίῳ
τετυπομένης Ὑπὸ ΓΕΡΑΣΙΜΟΥ
ΜΙΚΡΑΓΙΑΝΝΑΝΙΤΟΥ
&
Τὸ διὰ κολλύβων θαῦμα τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου τοῦ Τήρωνος, &
† Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Βασιλείου τοῦ Ὁμολογητοῦ, συνασκητοῦ τοῦ Ἁγίου Προκοπίου τοῦ Δεκαπολίτου..

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὸν Ἑξάψαλμον,...
Συναπτὴ μεγάλη καὶ ἡ Ἐκφώνησις
*Ὅτι πρέπει σοι πᾶσα δόξα...*
Ἦχος δ΄

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τόν αἰῶνα τό ἔλεος αὐτοῦ.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένε-το αὕτη, καί ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Ἀπολυτίκιον, Ἦχος δ΄. Ὁ ὑψωθείς...

Στρατολογίᾳ ἀληθεῖ ἀθλοφόροι, τοῦ οὐρανίου στρατηγοὶ Βασιλέως, περικαλλεῖς γεγένησθε Θεόδωροι· ὅπλοις γὰρ τῆς πίστεως, παρετάξασθε ἐμφρόνως, καὶ κατεξωλοθρεύσατε, τῶν δαιμόνων τὰ στίφη, καὶ νικηφόροι ὤφθητε ἀθληταί· ὅθεν ὑμᾶς πίστει ἀεὶ μακαρίζομεν..

Δόξα Πατρί...
Ἦχος γ΄. Θείας Πίστεως.

Θείας κλήσεως, φερωνυμίᾳ, διαλάμποντες, τῇ Ἐκκλησίᾳ, τὴν θεόσδοτον χάριν ἐκφαίνετε, Τήρων Θεόδωρε Μάρτυς ἀήττητε, καὶ Στρατηλάτα Θεόδωρε ἔνδοξε. Ἀλλ' αἰτήσασθε, Τριάδα τὴν Ὑπερούσιον, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν... Θεοτοκίον

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε, ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

Τῷ Σαββάτῳ πρωΐ.
Μετὰ τὴν α΄ Στιχολογίαν
Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ὡς Μάρτυρες Χριστοῦ, καὶ γενναῖοι ὁπλῖται, Θεόδωροι σοφοί, Στρατηλάτα καὶ Τήρων, μεγίστην ἐπλουτήσατε, ἐκ Θεοῦ χάριν ἔνδοξοι, δι' ἧς ὤφθητε, θαυματουργίαις ποικίλαις, περιβόητοι, καὶ θαυμαστοὶ πάσῃ κτίσει· διὸ ὑμᾶς μέλπομεν.

Δόξα. Ὅμοιον.

Τῶν θείων δωρεῶν, οἱ ὑπέρλαμπροι λύχνοι, ἐκλάμπουσιν ἀεί, δᾳδουχίαις θαυμάτων, δαιμόνων δεινὰ φάσματα, καὶ βροτῶν ἀῤῥωστήματα, διαλύοντες, οἷα καχέσπερον νύκτα, οἱ Θεόδωροι, οἱ εὐκλεεῖς Ἀθλοφόροι· οὓς πίστει τιμήσωμεν.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ σοῦ ὑπερφυῶς, ὑπὸ χρόνον προῆλθεν, ὁ πάντων Ποιητής, καὶ Δεσπότης τῶν ὅλων, καὶ τρίβον καθυπέδειξε, τοῖς ἀνθρώποις σωτήριον, ἣν ὁδεύσαντες, οἱ δύο θεῖοι ὁπλῖται, μεγαλύνουσι, σὲ τῶν καλῶν τὴ αἰτίαν, Παρθένε Πανάμωμε.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος γ΄. Θείας πίστεως.

Ῥώμην πίστεως διεζωσμένοι, ἠνδραγάθησαν, ἐν τοῖς ἀγῶσιν, τί τοῦ Χριστοῦ στρατιῶται Θεόδωροι, καὶ τῶν ἐχθρῶν καθελόντες τὸ φρύαγμα, τῆς αἰωνίου χαρᾶς ἠξιώθησαν. Καὶ νῦν ἄφεσιν, αἰτοῦσιν ἡμῖν καὶ ἔλεος, τοῖς μέλπουσιν αὐτῶν τὴν θείαν ἄθλησιν.

Δόξα. Ὅμοιον.

Πῦρ οὐράνιον, εἰσδεδεγμένος, πῦρ ὁμόδουλον, οὐκ ἐπτοήθης, θεομακάριστε Τήρων Θεόδωρε· ἐν τῷ Σταυρῷ προσπαγεὶς δὲ δεδόξασαι, τῷ τοῦ Χριστοῦ Στρατηλάτα μιμήματι. Ὧ πρεσβεύσατε, δοθῆναι πταισμάτων ἄφεσιν, τοῖς μέλπουσιν ὑμῶν τὴν θείαν ἄθλησιν.

Καὶ νῦν... Θεοτοκίον.

Θείαν κλίμακα, οὐρανομήκη, σὲ προέβλεψε, Πνεύματι θείῳ, Πατριάρχης Θεοτόκε ὁ ἔνθεος· διὰ γὰρ σοῦ τοῖς ἐν κόσμῳ ἐπέφανεν, ὁ φῶς οἰκῶν ὑπερούσιος Κύριος. Ὧ προσάγαγε, δεόμεθα Παναμώμητε, τοὺς πίστει προσιόντας τῇ πρεσβείᾳ σου.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ἦχος πλ. δ΄. Τὴν σοφίαν καὶ Λόγον.

Στρατιῶται τοὺ Λόγου πανευκλεεῖς, Ἐκκλησίας θεμέλιοι ἀῤῥαγεῖς, σαφῶς ἀνεδείχθητε, εὐσεβῶς ἐναθλήσαντες, καὶ τὰς μηχανουργίας, ἐχθρῶν θριαμβεύσαντες, δι᾿ ἔργων καὶ θαυμάτων, καὶ λόγων καὶ πράξεων· ὅθεν φερωνύμως, δωρεῶν οὐρανίων, τὰς δόσεις βραβεύετε, ἀενάως τοῖς χρήζουσιν, Ἀθλοφόροι Θεόδωροι. Πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, ὑμῶν τὴν πανήγυριν.

Δόξα.

Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Κατεπλάγησαν ὑμῶν, τὴν καρτερίαν τὴν πολλήν, ἐν ἀγῶσι κραταιοῖς, οἱ ἀντικείμενοι ἐχθροί· ὅτι ὡς ἄσαρκοι ἠνέγκατε τᾶς βασάνους, σῶμα τὸ θνητὸν ἀρνησάμενοι, καὶ πόθῳ ἀκλινεῖ Χριστὸν ποθήσαντες· ὁ δὲ Σωτὴρ ὡς δῶρον πολύτιμον, ὑμῶν τοὺς πόνους ἐδέξατο· Ὃν δυσωποῖτε, ὑπερ τοῦ κόσμου, Θεόδωροι παμμακάριστοι.

Καὶ νῦν... Θεοτοκίον.

Καταπλήττει ἀληθῶς, τῶν Ἀσωμάτων τοὺς χορούς, οἷον πέπρακται ἐν σοί, μέγα μυστήριον Ἁγνή,

καὶ τῶν πιστῶν κατευφραίνει τὰς διανοίας. Πῶς οὖν ἐν σαρκί, φρικτῶς γεγέννηκας, καὶ γάλακτι τῷ σῷ, Κόρη ἐθήλασας, τὸν διατρέφοντα κτίσιν τὴν ἅπασαν, ἐν τῇ ἀφάτῳ χρηστότητι; Πάντως ὡς εἶδεν, ὁ ταῦτα δράσας Θεογεννῆτορ παντευλόγητε.

Τὸ α´Ἀντίφωνον τοῦ δ´ ἤχου.

Ἀντίφωνον Α´.

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη· ἀλλ᾽ αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου. (δίς)

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμένοι. (δίς)

Δόξα.

Ἁγίῳ Πνεύματι πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται, λαμπρύνεται, τῇ τριαδικῇ μονάδι ἱεροκρυφίως.

Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν.

Προκείμενον. Ψαλμὸς ριγ´113

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ· (δίς)

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωμεν ὁ Κύριος,

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ·

Ἡ Τάξις τοῦ Εὐαγγελίου τοῦ Ὄρθρου

Ἦχος β´.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Αἰνεσάτω πνοὴ πᾶσα τὸν Κύριον.

Εὐαγγέλιον

Ἐκ τοῦ κατὰ

Δόξα σοι, Κύριε, δόξα σοι.

Καὶ εὐθὺς ὁ Ν´ Ψαλμὸς χῦμα.

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος των οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διὰ παντὸς.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμα σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν ἔδωκα ἂν ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον΄ καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Δόξα Πατρὶ... Ἦχος β΄

Ταῖς τῶν Ἀθλοφόρων, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν...

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἰδιόμελον. Ἦχος πλ. β΄

Σήμερον ἐν τῇ μαρτυρικῇ πανηγύρει, ἐν ἔργοις ἐναρέτοις λευχειμονοῦντες, τὸ σκυθρωπὸν τῆς νηστείας, πρὸς ὀλίγον ἀνύσωμεν, καὶ τοῖς Χριστοῦ ἀθληταῖς Θεοδώροις βοήσομεν· Οἱ τῶν ἐπιγείων ἀλογήσαντες, καὶ δι᾽ἄθλων ἁγίων, τῆς οὐρανίου δόξης ἀξιωθέντες, ἐνισχύσατε ἡμᾶς, τὸ τῆς νηστείας στάδιον καλῶς τελέσαι, καὶ ἀξίως προφθάσαι τὴν τοῦ Σωτῆρος Ἀνάστασιν.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.(γ΄)

Ἐλέει καὶ οἰκτιρμοῖς...

Κανὼν τῆς Θεοτόκου

Ἦχος δ΄. Ὠδὴ α΄. Ὁ Εἱρμός.

Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται πνεύματος, καὶ λόγον ἐρεύξομαι, »τῇ βασιλίδι Μητρί, καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω »γηθόμενος, ταύτης τὰ θαύματα. (δίς)

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Χαρίτων θησαύρισμα, καὶ ἀνεξάντλητον πέλαγος, ὑπάρχουσα Δέσποινα, ῥανίδα γνώσεως, κἀμοὶ ὄμβρησον, ἵνα σὺν τῷ Ἀγγέλῳ, τὸ χαῖρε βοήσω σοι, ᾀσμάτων σάλπιγγι.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἀρᾶς ἡ καθαίρεσις, χαῖρε θεόνυμφε Δέσποινα, τοῦ κόσμου ἡ λύτρωσις, χαῖρε Πανάμωμε, ἡ πηγάσασα, ζωὴν τὴν αἰωνίαν, καὶ ᾅδην νεκρώσασα, χαῖρε τῷ τόκῳ σου.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἰσχύος ἀνάκτορον, τῆς πατρικῆς χαῖρε Ἄχραντε, παστάς ἡ ἀμόλυ-

ντος, χαῖρε τοῦ Κτίσαντος, ὁ ὑπέρλαμπρος νυμφὼν χαῖρε τῆς δόξης, τῆς θείας σαρκώσεως, τὸ ἐργαστήριον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ῥάβδος ἡ ἀνθήσασα, τὸν φυτουργὸν πάσης κτίσεως, χαῖρε Ἀπειρόγαμε, χαῖρε ἡ ἄμπελος, ἡ βλαστήσασα, τὸν βότρυν τὸν ὡραῖον, τὸν οἶνον βλυστάνοντα, τῆς ἐπιγνώσεως.

Κανὼν τοῦ Ἁγίου Θεοδώρου
τοῦ Τήρωνος
Κανών α΄,
Ὠδὴ α΄, Τριῳδίου
Ἦχος δ΄, Ἀνοίξω τὸ στόμα μου

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁ πάντων ἐπέκεινα, σὲ τὴν ἀρρήτως γεννήσασαν, ἁπάντων προέθηκε, τῶν ἑαυτοῦ ἐκλεκτῶν· ὅθεν σήμερον, τὸν τούτου στεφανίτην, ὑμνοῦντες Πανύμνητε, σοὶ προεξάρχομεν. (δίς)

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τὸν μέγαν ἐν Μάρτυσι, τὸν ἀθλητὴν τὸν ὑπέρλαμπρον, τὸν ὀνομαστότατον, καὶ περιβόητον, τὸν ἐν θαύμασιν, ἀπ ἄκρων γῆς εἰς ἄκρα, ἐπίσημον ᾄσματι, μέλψω Θεόδωρον.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἡμέρα εὐφρόσυνος, ἐν ταῖς πενθίμοις ἀνέτειλε, καὶ τὴν σκυθρωπότητα, τούτων ἐφαίδρυνε, προεόρτια, προοίμια μακρόθεν, ἐκλάμψασα χάριτι, τοῦ θείου Μάρτυρος.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ῥαντίζει καθάρσια, τὴν Ἐκκλησίαν τοῖς αἵμασι, τὸ ἅγιον σφάγιον, ὃ προσελάβετο, ὁ τεθυμένος, καὶ θῦμα δεδεγμένος, τὸν ὑπεραθλήσαντα, τῆς θείας δόξης αὐτοῦ.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς. Θεοτοκίον

Ὡραῖον κἂν ἄωρον, τὸ ἑορτάζειν νενόμισται· ἡ γὰρ ὡραΐσασα, τὰ πάντα Δέσποινα, καὶ νῦν ἔδειξε, τῆς μνήμης κοινωνοῦσα, τῷ προκινδυνεύοντι ταύτης δι΄ αἵματος.

Κανὼν δεύτερος,
Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Ταῖς τῶν Ἀγγέλων στρατιαῖς καὶ τάξεσι, συναγαλλόμενοι, καὶ τὰς ὑπὲρ λόγον, δωρεὰς καὶ χάριτας, Θεόδωροι δεχόμενοι, ἐκ τοῦ Πατρὸς τῶν φώτων, τοὺς ὑμᾶς ἄμφω γεραίροντας, θείων δωρεῶν ἀξιώσατε.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Ἡ ἐν πολέμοις Μάρτυς εὐστοχία σου, τῷ βασιλεῖ τῷ φθαρτῷ, ἐκλεκτόν σε Τήρων, φερωνύμως ἔδειξεν, ἡ δὲ λαμπρά σου ἄθλησις, λαμπρὸν πάσῃ τῇ κτίσει, καὶ θαυμαστόν σε κατέστησε, δωρεαῖς θαυμάτων ἐκλάμποντα.

Δόξα...

Ρεούσῃ γλώσσῃ εὐσεβείας δόγματα, ὡς γλυκασμὸν ἀληθῆ, δαψιλῶς βλυστάνεις, Στρατηλάτα ἔνδοξε· τὸν λόγον γὰρ τῆς πίστεως, εὐσεβῶς διασπείρων, τοῦ μαρτυρίου τὰ δράγματα, ἐν ἀγαλλιάσει ἐθέρισας.

Καὶ νῦν... Θεοτοκίον

Ὡραιωθεῖσα τοῖς πανάγνοις κάλλεσι, τῆς παρθενίας Ἁγνή, τὸν ὡραῖον κάλλει, παρὰ πάντας τέτοκας, σαρκὸς ἐν ὁμοιώματι, τὸν Ὑπέρθεον Λόγον, καθωραΐζοντα χάριτι, τὴν ἀχρειωθεῖσαν οὐσίαν μου.

Κανὼν τῆς Θεοτόκου

Ὠδὴ γ΄. Ἦχος δ΄. Ὁ Εἱρμός.

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθονος πηγή, θίασον »συγκροτήσαντας, πνευματικὸν στερέωσον, καὶ ἓν θεία δόξῃ σου, στεφάνων δόξης ἀξίωσον. (δίς)

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὄρος τὸ κατάσκιον καὶ πῖον, ἐξ οὗ ἐπεδήμησεν ἡμῖν, ὁ Βασιλεὺς τῆς κτίσεως, καὶ τὸν Ἀδὰμ ἀνεύρατο, ἐν ἀπωλείας ὄρεσι, χαῖρε Ἁγνὴ Μητροπάρθενε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἰάσεων χαῖρε τοῖς ἀνθρώποις, ὀμβρίζουσα δρόσον δαψιλῶς, χαῖρε πηγή, ἀκένωτε, ἐξ ἧς ἡμῖν ἀνέβλυσε, τὸ ὕδωρ τὸ ἀλλόμενον, εἰς σωτηρίαν αἰώνιον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Στάμνος ἡ χρυσῆ χαῖρε Παρθένε, ἡ κόσμον, τὸν ἄρτον τῆς ζωῆς, ὡς μάννα ἐπουράνιον, ἀσπόρως γεωργήσασα, χαῖρε λυχνία πάμφωτος, τοῦ πατρικοῦ ἀπαυγάσματος.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Τὴν πλάκα τῆς νέας Διαθήκης, ἐν ᾗ ὁ Δεσπότης τοῦ παντός, ἐγράφη σωματούμενος, ὑμνήσωμεν κραυγάζοντες· χαῖρε νόμου τὸ πλήρωμα, καὶ Προφητῶν περιήχημα.

Κανὼν α΄, Ὠδὴ γ΄, Τριῳδίου

Ἦχος δ΄. Τοὺς σοὺς ὑμνολόγους

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἰδεῖν τὴν ἡμέραν τοῦ Υἱοῦ σου, ποθῶν ὁ χριστώνυμος λαός, εἰς τύπον ταύτης Δέσποινα, τανῦν προεορτάζουσι, σὲ φέρουσαν ὑπόθεσιν, καὶ τὸν κλεινὸν Ἀθλοφόρον σου.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Νικᾷ πᾶσι τρόποις τὰ βελτίω· ὁ μέγιστος γὰρ ἐν ἀθληταῖς, εἰς εὐφροσύνην ἤμειψε, τὴν τοῦ καιροῦ κατήφειαν, τῆς εὐαγοῦς τὸ σύντονον, νηστείας τρέψας εἰς ἄνεσιν.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Οἰκεῖον καὶ πρέπον σοι τὸ δῶρον· καὶ γὰρ ἐξ οἰκείων Ἀθλητά· οὓς γὰρ αὐτὸς κατῴκισας, ἐν ταύτῃ τῇ μερίδι σου, περιχαρῶς τὰ δῶρά σοι, τὰ τῶν ἐπαίνων προσάγομεν.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε

ὑπὲρ ἡμῶν.

Καλλίστην κρηπῖδα κατεβάλου, ταῖς σαῖς ἀριστείαις Ἀριστεῦ, τὸν θῆρα τὸν ὀλέθριον, τὸν πῦρ καὶ φόνον πνέοντα, καταβαλὼν ὡς πάρεργον, ὑπερφυοῦς γενναιότητος.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Λυττήσας ὁ νέος ἀποστάτης, κατ᾽ ἴσον δεινῶς τῷ παλαιῷ, καθάρματα τοῖς βρώμασιν, ὥσπερ ἰῷ συνέφυρεν, ἀλλὰ ψευσθεὶς ὁ δείλαιος, κατεσοφίσθη τῷ Μάρτυρι.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς. Θεοτοκίον

Ἐπλήσθην μὲν σύμπασα Παρθένε, τοῦ γνῶναι τὸν Κύριον ἡ γῆ, ἐκ σοῦ τῷ Κόσμῳ φάναντα, ἀλλὰ τοῖς θείοις Μάρτυσι, χάρις πολλὴ κρατύνασι, δι᾽ ἑαυτῶν τὴν ἀλήθειαν.

Κανὼν δεύτερος. Ἦχος πλ. δ'.

Ὁ στερεώσας κατ᾽ ἀρχάς.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Νέος ὑπάρχων εὐσταλής, νεότητος τερπνὴν ὥραν, καὶ ἀξίας τῶν ἐν κόσμῳ πραγμάτων, ὑπερεῖδες νουνεχῶς, Τήρων Μάρτυς ἀήττητε, ἵνα Χριστὸν κερδήσῃ, οὗ καὶ τὸ πάθος ἐπόθησας.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Χαίρων ἀπέστης ὁλικῶς, τῆς σχέσεως Λικινίου, βουλευσάμενος σοφῶς Στρατηλάτα· ἀντὶ δόξης γὰρ φθαρτῆς, ὁλοσχερῶς ἠγάπησας, Κυρίου κατὰ Παῦλον, ὀνειδισμὸν τὸν σωτήριον.

Δόξα...

Ἀκαταπλήκτῳ λογισμῷ, καὶ στεῤῥοτάτῃ καρδίᾳ, θριαμβεύσαντες ἐχθρῶν τὴν μανίαν, πολυτρόπων αἰκισμῶν, πεῖραν στεῤῥῶς ἐλάβετε, Τήρων καὶ Στρατηλάτα, Μεγαλομάρτυρες ἔνδοξοι.

Καὶ νῦν... Θεοτοκίον.

Ἰαματόβρυτος πηγή, ἡ προστασία σου πέλει, κρουνηδὸν ἀναπηγάζουσα κόσμῳ, ἰαμάτων νοητῶν, νάματα καθαρώτατα, δι᾽ ὧν Παρθενομῆτορ, κἀμὲ νοσοῦντα θεράπευσον..

Κάθισμα

Ἦχος πλ. δ'.

Τὴν σοφίαν καὶ Λόγον

Θεϊκὴν πανοπλίαν ἀναλαβών, καὶ εἰδώλων τὴν πλάνην καταβαλών, Ἀγγέλους διήγειρας, εὐφημεῖν τοὺς ἀγῶνάς σου· τῷ γὰρ θείῳ πόθῳ, τὸν νοῦν πυρπολούμενος, τοῦ ἐν πυρὶ θανάτου, στερρῶς κατεφρόνησας· ὅθεν φερωνύμως, τοῖς αἰτοῦσί σε νέμεις, τὰ θεῖα δωρήματα, ἰαμάτων χαρίσματα. Ἀθλοφόρε Θεόδωρε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα...

Κάθισμα. Ἦχος γ'. Τὴν ὡραιότητα.

Τὴν θεοδώρητον, φέροντες δύναμιν, σαρκὸς καὶ αἵματος, ἔξω γεγόνατε, καὶ κατὰ κράτος τῶν ἐχθρῶν, καθείλετε τὰς δυνάμεις,

Στρατηλάτα μέγιστε, Ἀθλητῶν ἀκροθίνιον, καὶ Τήρων μακάριε, τῶν Μαρτύρων ὡράϊσμα· μεθ' ὧν ἐκδυσωποῖτε ἀπαύστως, πάσης ἡμᾶς ῥύεσθαι βλάβης.

Καὶ νῦν... Θεοτοκίον

Τὸν Ὑπερούσιον, σάρκα γενόμενον, ἐκ τῶν αἱμάτων σου, ἀφθόρως τέτοκας, καὶ ἐγαλούχησας φρικτῶς, τὸν τρέφοντα πᾶσαν κτίσιν· ὢ τῶν μεγαλείων σου, Θεοτόκε Πανύμνητε! Τις οὖν διηγήσεται, τὰς μεγάλας αἰνέσεις σου; Ἀλλ' οὖν χαρμονικῶς σοι βοῶμεν· χαῖρε ἡ Κεχαριτωμένη.

Κοντάκιον

Ἦχος πλ. δ'

Πίστιν Χριστοῦ ὡσεὶ θώρακα, ἔνδον λαβὼν ἐν καρδίᾳ σου, τὰς ἐναντίας δυνάμεις κατεπάτησας Πολύαθλε, καὶ στέφει οὐρανίῳ, ἐστέφθης αἰωνίως, ὡς ἀήττητος.

Ὁ Οἶκος

Τὸν ἐν θρόνῳ φωτὸς ἐποχούμενον, εὐχαρίστως ἐν πίστει ὑμνοῦμέν σε, ὅτι δώρημα θεῖον δεδώρησαι, τὸν γενναῖον τοῖς ἄθλοις Θεόδωρον, τὸν ἐν τῷ βίῳ τρισμακάριστον, ὡς ὑπέρμαχον ὄντα τῆς ἀληθείας, εὐσεβεῖ λογισμῷ κεκτημένος Χριστόν, ἀνεδείχθη κραταιὸς νικητὴς κατὰ τοῦ δολεροῦ, ὡς ἀήττητος.

ΣΥΝΑΞΑΡΙΟΝ

Τῇ ΚΗ' τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Βασιλείου, συνασκητοῦ τοῦ Ἁγίου Προκοπίου.

Στίχοι

Ὁ Βασίλειος Χριστὸν ἐν ψυχῇ φέρων,

Ψυχὴν σκιᾶς τίθησι τῆς αὐτοῦ χάριν.

Κρύψαν ὑπὸ χθόνα εἰκόνα ὀγδοάτῃ Βασίλειον.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Ἱερομάρτυρος Προτερίου, Ἀρχιεπισκόπου Ἀλεξανδρείας.

Στίχοι

Ὁ Προτέριος σφάττεται τοῖς καλάμοις,

Ὀξυγράφου κάλαμος ὢν κατὰ πλάνης.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Νέστορος.

Στίχοι

Οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος ἐν ξύλῳ,

Νέστωρ ἁπλωθείς, τὸ προφητικὸν φάναι.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Γυναικῶν Κύρας καὶ Μαράνας.

Στίχοι

Καταξιοῦνται Μαράνα τε καὶ Κύρα,

Σαρκὸς μαρασμῷ, κυριεύειν τοῦ πόλου.

Τῇ αὐτῇ ἡμέρᾳ, οἱ Ἅγιοι ἓξ Μάρτυρες, οἱ ἐξ Αἰγύπτου ξίφει τελειοῦνται.

Στίχοι

Ξίφει θανεῖν ἔγραψαν ἓξ Αἰγυπτίους,

οἱ τοῦ χρόνου γράψαντες ἄθλους καὶ βίους.

Τῇ αὐτῇ ἡμέρᾳ, οἱ Ἅγιοι Ἀπόστολοι Νυμφᾶς καὶ Εὔβουλος ἐν εἰρήνῃ τελειοῦνται.

Στίχοι

Χριστοῦ φυτεία Χριστapόστολοι δύο,

Χριστῷ σύνεισιν Εὔβουλος Νυμφᾶς ἅμα.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ὅσιος Βάρσος, Ἐπίσκοπος Δαμασκοῦ, ἐν εἰρήνῃ τελειοῦται.

Στίχοι

Πανήγυριν ῥέοντος ἐκλιπὼν βίου,

Σύνεστι Βάρσος Ἀγγέλων πανηγύρει.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ἅγιος Μάρτυς Ἀβίρκιος ξίφει τελειοῦται.

Στίχοι

Χριστοῦ λατρευτῆς αὐχένα τμηθεὶς ξίφει,

Θεῶν λατρευτὰς Ἀβίρκιος αἰσχύνει.

Πρῶτον τοῦ Μηναίου καὶ εἶτα τὸ ἑξῆς.

Συναξάριον

ἀμφοτέρων ταῶν Αγίων

Τῷ Σαββάτῳ τῆς α' ἑβδομάδος τῆς ἁγίας Τεσσαρακοστῆς, Σύναξιν ἐτήσιον ἐπιτελοῦμεν εἰς τιμὴν καὶ μνήμην τῶν Ἁγίων ἐνδόξων Μεγάλων τοῦ Χριστοῦ Μαρτύρων Θεοδώρου τοῦ Τήρωνος καὶ Θεοδώρου τοῦ Στρατηλάτου.

Συναξάριον τοῦ Τριωδίου

Τῇ αὐτῇ ἡμέρᾳ, Σαββάτῳ τῆς πρώτης Ἑβδομάδος τῶν Νηστειῶν, τὸ διὰ τῶν Κολλύβων παράδοξον θαῦμα τοῦ ἁγίου καὶ ἐνδόξου Μεγαλομάρτυρος Θεοδώρου τοῦ Τήρωνος ἑορτάζομεν.

Στίχοι

Τροφῇ κολλύβων, ἑστιᾷ Τήρων πόλιν,

Τροφὴν τιθεὶς ἄπρακτον, ἠλιγισμένην.

Ταῖς τῶν ὁμωνύμων σου Μεγαλομαρτύρων καὶ πάντων σου τῶν Ἁγίων πρεσβείαις Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν..

ΚΑΤΑΒΑΣΙΑΙ

Ὠδὴ α'. Ἦχος δ'.

Ἀνοίξω τὸ στόμα μου καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον ἐρεύξομαι, τῇ Βασιλίδι Μητρί, καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα.

ᾠδὴ γ'

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθορος πηγή, θίασον συγκροτήσαντας πνευματικὸν στερέωσον, καὶ ἐν τῇ θείᾳ δόξῃ σου στεφάνων δόξης ἀξίωσον.

ᾠδὴ δ'

Ὁ καθήμενος ἐν δόξῃ, ἐπὶ θρόνου Θεότητος, ἐν νεφέλῃ κούφῃ, ἦλθεν Ἰησοῦς ὁ ὑπέρθεος, τῇ ἀκηράτῳ παλάμῃ, καὶ διέσωσε, τοὺς κραυγάζοντας· Δόξα Χριστὲ τῇ δυνάμει σου.

ᾠδὴ ε'

Ἐξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου, σὺ γὰρ ἀπειρόγαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ τὸν ἐπὶ πάντων Θεόν, καὶ τέτοκας ἄχρονον Υἱόν, πᾶσι τοῖς ὑμνοῦσί σε, σωτηρίαν βραβεύοντα.

ᾠδὴ ϛ'

Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες, τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα Θεὸν δοξάζοντες.

ᾠδὴ ζ'

Οὐκ ἐλάτρευσαν, τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν κτίσαντα, ἀλλὰ πυρὸς ἀπειλήν, ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλλον, Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

ᾠδὴ η’

Στίχ. Αἰνοῦμεν, εὐλογοῦμεν, καί προσκυνοῦμεν τὸν Κύριον.

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διεσώσατο, τότε μὲν τυπούμενος, νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν, ἀγείρει ψάλλουσαν. Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς...

ΤΙΜΙΩΤΕΡΑ (Ἦχος δ΄)

Στίχ. Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Τὴν Τιμιωτέραν...

Στίχ. Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Τὴν Τιμιωτέραν...

Στίχ. Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Τὴν Τιμιωτέραν...

Στίχ. Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλεν κενούς.

Τὴν Τιμιωτέραν...

Στίχ. Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Τὴν Τιμιωτέραν...

Καταβασία. Ὠδὴ θ΄

Ἅπας γηγενής, σκιρτάτω τῷ πνεύματι, λαμπαδουχούμενος, πανηγυριζέτω δέ, ἀΰλων Νόων, φύσις γεραίρουσα, τὰ ἱερὰ θαυμάσια, τῆς Θεομήτορος, καὶ βοάτω. Χαίροις παμμακάριστε, Θεοτόκε ἁγνή, ἀειπάρθενε.

Ἐξαποστειλάριον, Τριῳδίου

Ἦχος β΄.

Τοῖς Μαθηταῖς

Στεφανηφόρος Ἅγιε, παρεστὼς σὺν Ἀγγέλοις, τῷ τοῦ Χριστοῦ νῦν Βήματι, καὶ φωτὸς τοῦ ἐκεῖθεν, πληρούμενος Ἀθλοφόρε, τὴν εἰρήνην τῷ Κόσμῳ, ἀδιαλείπτως πρέσβευε, καὶ ἡμῖν σωτηρίαν τοῖς εὐσεβῶς, τὴν φωσφόρον μνήμην σου ἐκτελοῦσι, Θεόδωρε πανόλβιε, Μάρτυς ἠγλαϊσμένε.

Ἕτερα Γερασίμου.

Ἦχος γ΄. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ὡς τοῦ Χριστοῦ ὁπλῖται, καὶ στρατιῶται εὐσθενεῖς, τὰς τῶν ἐχθρῶν παρατάξεις, κατετρυπώσασθε στεῤῥῶς, Θεόδωροι διὰ τοῦτο, ὑμᾶς Χριστὸς μεγαλύνει.

Ὅμοιον.

Οἱ τοῦ Χριστοῦ Ἀθλοφόροι, καὶ ἀριστεῖς πανευκλεεῖς, ὁ Στρατηλάτης καὶ Τήρων, ἀνευφημείσθωσαν λαμπρῶς· οὗτοι καὶ γὰρ τὴν Τριάδα, ὑπὲρ ἡμῶν δυσωποῦσι.

Θεοτοκίον.

Θεοχαρίτωτε Κόρη, τῶν εὐσεβῶν καταφυγή , τὸν σὸν Υἱὸν καὶ Δεσπότην, ἱκέτευε διὰ παντός, ἵνα ῥυώμεθα πάσης, ἐπιβουλῆς καὶ ἀνάγκης.

ΑΙΝΟΙ . Ἦχος α΄.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Εἰς τοὺς Αἴνους,

Στιχηρὰ, Τριῳδίου

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων

Στίχ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Τὸν ἀριστέα τῆς ἄνω, στρατολογίας πιστοί, ὡς καρτερὸν ὁπλίτην, τῆς ἡμῶν εὐσεβείας, συμφώνως συνελθόντες, ᾠδαῖς μυστικαῖς, εὐφημήσωμεν λέγοντες· Ἀξιοθαύμαστε Μάρτυς τοῦ Ἰησοῦ, εὔχου ὑπὲρ τῶν τιμώντων σε.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ, σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Τῇ φερωνύμῳ σου κλήσει, δῶρον Θεοῦ ἀληθῶς, τοῖς θλιβομένοις πᾶσι, θυμηδία ἐδόθης, Θεόδωρε τρισμάκαρ· πᾶς γὰρ τῷ σῷ, προσπελάζων Ναῷ ἀληθῶς, μέτ' εὐφροσύνης λαμβάνων τὰς ἀμοιβάς, τῶν θαυμάτων σου γεραίρει Χριστόν.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Τῆς εὐσεβείας τὸν πλοῦτον, καὶ τὴν λαμπρότητα, ἀθλητικοῖς καμάτοις, σεαυτῷ θησαυρίσας, πᾶσαν τὴν ἰσχύν σου, δῶρον δεκτόν, τῷ Θεῷ προσενήνοχας, ἀναπληρῶν ἐν τοῖς ἄθλοις μετὰ σπουδῆς, Θεοδώρητόν σου πρόσκλησιν.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Τῇ παμφαεῖ πανηγύρει, τοῦ θείου Μάρτυρος, εὐωχηθῶμεν πάντες, καὶ πιστῶς εὐφρανθῶμεν, φιλέορτοι τιμῶντες, φαιδρὰν ἑορτήν, τῆς αὐτοῦ τελειώσεως, ᾀσματικῶς ἀνυμνοῦντες τὸν Ἰησοῦν, τὸν δοξάσαντα τὴν μνήμην αὐτοῦ.

Δοξαστικόν. Ἦχος πλ. δ΄

Δόξα Πατρὶ...

Τῶν κλεινῶν Θεοδώρων ἡ δυάς, ὁμωνυμίᾳ κοσμουμένη ἰσοκλεεῖ, τῆς θεοσδότου χάριτος τῇ κλήσει, ἴσοις ἀγῶσιν, ἐνδιέπρεψε τῷ κόσμῳ· καὶ τὸ μυστήριον τῆς εὐσεβείας, τρανῶς ἐδόξασαν ἐν τῷ σταδίῳ· οὓς ἀνυμνούντες συμφώνως, ἐπαινέσωμεν λέγοντες· ὦ ἔνδοξε

ξυνωρίς, τροπαιοῦχοι ὁπλῖται, οὐρανίου στρατείας· δοτῆρες πολύδωροι, τῶν δωρεῶν τῆς χρηστότητος· τῶν θλιβομένων ψυχῶν, ἀληθὴς παραμυθία· οἱ οξύτατοι ῥῦσται τῶν ἐν κινδύνοις, οἱ ἄγρυπνοι εὐσεβῶν προστάται· Τήρων παμμακάριστε, Στρατηλάτα πάνσοφε, ἐκτενῶς πρεσβεύσατε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Θεοτοκίον

Ἦχος πλ. δ´.

Καὶ νῦν...

Δέσποινα, προσδεξαι τάς δεήσεις τών δούλων σου, καί λύτρωσαι ημάς, από πάσης ανάγκης καί θλίψεως.

Δοξολογία Μεγάλη

Ἦχος πλ. δ´.

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν, ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς

αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός,

Ἅγιος Ἰσχυρός,

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἀπολυτίκιον,

Ἦχος δ'. Ὁ ὑψωθείς...

Στρατολογίᾳ ἀληθεῖ ἀθλοφόροι, τοῦ οὐρανίου στρατηγοὶ Βασιλέως, περικαλλεῖς γεγένησθε Θεόδωροι· ὅπλοις γὰρ τῆς πίστεως, παρετάξασθε ἐμφρόνως, καὶ κατεξωλοθρεύσατε, τῶν δαιμόνων τὰ στίφη, καὶ νικηφόροι ὤφθητε ἀθληταί· ὅθεν ὑμᾶς πίστει ἀεὶ μακαρίζομεν..

ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

ΑΝΤΙΦΩΝΑ

Ἀντίφωνον Α'. Ἦχος β'.

Στίχ. Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

Στίχ. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Στίχ. Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Στίχ. Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Δόξα Πατρί...Καὶ νῦν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Ἀντίφωνον Β'. Ἦχος β'.

Στίχ. Αἴνει, ἡ ψυχή μου τὸν Κύριον, αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Στίχ. Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Στίχ. Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς·

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Στίχ.. Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν.

Σῶσον, ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Δόξα Πατρὶ... Καὶ νῦν...

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος, διὰ τὴν ἡμετέραν σωτηρίαν, σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρω-θείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, Εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

Ἀντίφωνον Γʹ. Ἦχος βʹ.

Στίχ. αʹ. Δίκαιος ὡς φοίνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Ἀπολυτίκιον, Τριῳδίου

Ἦχος βʹ

Μεγάλα τὰ τῆς πίστεως κατορθώματα! ἐν τῇ πηγῇ τῆς φλογός, ὡς ἐπὶ ὕδατος ἀναπαύσεως, ὁ Ἅγιος Μάρτυς Θεόδωρος ἠγάλλετο· πυρὶ γὰρ ὁλοκαυτωθείς, ὡς ἄρτος ἡδύς, τῇ Τριάδι προσήνεκται. Ταῖς αὐτοῦ ἱκεσίαις Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

Μικρὰ Εἴσοδος. Εἰσοδικὸν

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστός,, (ὁ βʹ χορὸς) ψάλλοντάς σοι, Ἀλληλούϊα.

Ἀπολυτίκιον, Τριῳδίου. Ἦχος βʹ

Μεγάλα τὰ τῆς πίστεως κατορθώματα! ἐν τῇ πηγῇ τῆς φλογός, ὡς ἐπὶ ὕδατος ἀναπαύσεως, ὁ Ἅγιος Μάρτυς Θεόδωρος ἠγάλλετο· πυρὶ γὰρ ὁλοκαυτωθείς, ὡς ἄρτος ἡδύς, τῇ Τριάδι προσήνεκται. Ταῖς αὐτοῦ ἱκεσίαις Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον τοῦ Ναοῦ

Κοντάκιον Ἦχος βʹ

Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι. Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε, τῶν τιμώντων σε.

Τρισάγιον Ἀποστόλου

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. γʹ

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμὴν.

Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δύναμις.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

ΑΠΟΣΤΟΛΙΚΟΝ ΑΝΑΓΝΩΣΜΑ ΤΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ

Προκείμενον Ἦχος βαρὺς

Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ.

Στίχ. Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου.

Πρὸς Τιμόθεον Βʹ Ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα. 2:1-10

Τέκνον Τιμόθεε, ἐνδυναμοῦ ἐν τῇ χάριτι τῇ ἐν Χριστῷ Ἰησοῦ, καὶ ἃ ἤκουσας παρ' ἐμοῦ διὰ πολλῶν μαρτύρων, ταῦτα παράθου πιστοῖς ἀνθρώποις, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι. Σὺ οὖν κακοπάθησον ὡς καλὸς στρατιώτης Ἰησοῦ Χριστοῦ. Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ. Ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ. Τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν. Νόει ὃ λέγω· δῴη γάρ σοι ὁ Κύριος σύνεσιν ἐν πᾶσι. Μνημόνευε Ἰησοῦν Χριστὸν ἐγηγερμένον ἐκ νεκρῶν, ἐκ σπέρματος

Δαυῒδ, κατὰ τὸ εὐαγγέλιόν μου, ἐν ᾧ κακοπαθῶ μέχρι δεσμῶν ὡς κακοῦργος· ἀλλ᾽ ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται. Διὰ τοῦτο πάντα ὑπομένω διὰ τοὺς ἐκλεκτούς, ἵνα καὶ αὐτοὶ σωτηρίας τύχωσι τῆς ἐν Χριστῷ Ἰησοῦ μετὰ δόξης αἰωνίου.

Ἀλληλούϊα Ἦχος δ´

Δίκαιος ὡς φοίνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσει.

*Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Ἱεροῦ Χρυσοστόμου*

*Εἰς τό Ἐξαιρέτως*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σὲ τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

*Κοινωνικὸν*

Εἰς μνημόσυνον αἰώνιον ἔσται Δίκαιος. Ἀλληλούϊα.

*ἦχος β´*

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες, αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

Ἀμὴν ἀμὴν ἀμὴν, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν τὴν αἰώνιον.

Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεώς Κύριε, ὅπως ὑμνήσωμεν τὴν δόξαν σου, ὅτι ἠξίωσας ἡμᾶς τῶν ἁγίων σου μετασχεῖν μυστηρίων· τήρησον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ, ὅλην τὴν ἡμέραν μελετᾶν τὴν δικαιοσύνην σου. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

*ἦχος β´*

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπό τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. *(τρίς)*

Ὁ πάντα τελεσφορήσας τῷ λόγῳ σου, Κύριε, καὶ κελεύσας τῇ γῇ παντοδαποὺς ἐκφύειν καρποὺς εἰς ἀπόλαυσιν καὶ τροφήν ἡμετέραν, ὁ τοῖς σπέρμασι τοὺς Τρεῖς Παῖδας καὶ Δανιὴλ τῶν ἐν Βαβυλῶνι ἁβροδιαίτων λαμπροτέρους ἀναδείξας, αὐτός, πανάγαθε Βασιλεῦ, καὶ τὰ σπέρματα ταῦτα σὺν τοῖς διαφόροις καρποῖς εὐλόγησον καὶ τοὺς ἐξ αὐτῶν μεταλαμβάνοντας πιστοὺς δούλους σου ἁγίασον· ὅτι εἰς δόξαν σήν, Κύριε, καὶ εἰς τιμήν καὶ μνήμην τοῦ ἁγίου καὶ ἐνδόξου μεγαλομάρτυρος Θεοδώρου τοῦ Τήρωνος, ταῦτα προετέθησαν παρὰ τῶν σῶν δούλων καὶ εἰς μνημόσυνον τῶν ἐν εὐσεβείᾳ καὶ πίστει τελειωθέντων. Παράσχου δὲ ἀγαθέ, τοῖς τε εὐτρεπίσασι ταῦτα καὶ τοῖς τὴν μνήμην ἐπιτελοῦσι, πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα, καὶ τῶν αἰωνίων σου ἀγαθῶν τὴν ἀπόλαυσιν· πρεσβείαις τῆς Παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τοῦ Ἁγίου καὶ ἐνδόξου μεγαλομάρτυρος Θεοδώρου τοῦ Τήρωνος, οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων σου τῶν Ἁγίων. Ὅτι σὺ εἶ ὁ

εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ, και ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἡ Μεταφορὰ Κειμένων

Καλλιτεχνικὴ ἐπιμέλεια

ἔγινε ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη

Ἱεροψάλτη

στὸν Ι.Ν. Ἁγίου Γεωργίου

Κουλούρας Βέροιας.